ἀρθιρ. ϛιχ.

πέλουσιν ἀρχαὶ, δραστικαί τε τὸ πλέον·
συνεκτικαὶ γὰρ τῆς κινήσεως ὅλως,
ὕλην ἔχουσαι σώματος σφῶν ἐς βάσιν,
ὑλικαὶ ἢ φυσικαὶ δυνάμεις. δι᾽ ἣν καλείσθων ὑλικαί τε καὶ φύσει.
Ζ. Ἀλλ᾽ οὐ μόναι γοῦν· εἰσὶ γὰρ τούτων ἄτερ
ἄλλαι δυνάμεις δραστικώτεραι πλέον,
ὕλης τινὸς μὲν οὐδαμῶς ἠρτημέναι,
ὁρμὴν διδοῦσ᾽ ὕλῃ δὲ συντονωτάτην,
τελοῦμεν᾽ ἐν σκήνει τε πολλῷ σὺν τάχει
νῦν μὲν νοήσει, νῦν δὲ καὶ προαιρέσει·
ψυχικαὶ δυνάμεις. αἳ ψυχικαὶ δὴ προσφυῶς κεκλημέναι
ψυχὴν ἴσασιν αἰτίαν αὐτῶν μόνην,
ἀρχήν τε πρώτην· οὐ γὰρ ἂν δύναιτό τι
σθένος παρ᾽ αὐτὴν τάσδε δρᾶν, οὐδ᾽ ἔσθ᾽ ὅ,τι
ῥύμην πορίζοι ταῖσδε, ταῖς πρίν τ᾽ εἰσέτι, ϛ. 117.
ὕλης πελούσης. ἀδρανοῦς δὴ πρὸς τόδε
ᾗ ξυμπέπηγε σῶμα σύμπαν τοῦθ᾽ ὅλως·
ὕλη παχεῖα τῇ κινήσει γὰρ νέμει
βάσιν, σθένος τε, πῶμαλ᾽ ἂν γένοιτό πως ϛ. 119.
αὐτή δ᾽ ἑαυτῇ τῆσδε πώποτ᾽ αἰτία·
ἄλλως γὰρ ἦδ᾽ ἦν αὐτοκίνητόν τι ὄν·
ὅ γ᾽ ἀντίκειται τῇ τε πείρᾳ καὶ φύσει,
ἐκ μηχανῶν σάφ᾽ ὡς ἔνεστιν εἰδέναι.
Η. Κινοῦν τι πρῶτον τοιγαροῦν ζητητέον
ὕλης ἀμοιροῦν· τοῦτ᾽ ἄρα ψυχὴ πέλει,(υ) ὃ

ὂν

(υ) περὶ διαίτ. Α. ζ. ια. ἐνυπν. Α. ἐπιδ. ϛ. ε.